eul_wid: bpy-aa

*Τιμοκρέων ὁ Ῥόδιος* · Timocreon of Rhodes

# Invective Against Themistocles

*Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Δωρική* Doric (frg)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1.1 ἀλλ' εἰ τύ γε
book 1.2 Παυσανίαν ἢ καὶ τύ γε Ξάνθιππον αἰνεῖς, ἢ τύ γε Λευτυχίδαν, ἐγὼ δ' Ἀριστείδαν ἐπαινέω ἄνδρ' ἱερᾶν ἀπ' Ἀθανᾶν ἐλθεῖν ἕνα λῷστον, ἐπεὶ Θεμιστοκλῆν ἤχθαρε Λατώ,[ln_5]ψεύσταν ἄδικον
book 1.3 προδόταν, ὃς
book 1.4 Τιμοκρέοντα ξεῖνον ἐόντα ἀργυρίοισι κοβαλικοῖσι
book 1.5 πεισθεὶς οὐ κατᾶγεν
book 1.6 πατρίδ' Ἰαλυσὸν εἴσ〈ω〉, λαβὼν δὲ τρί' ἀργυρίου τάλαντ' ἔβα
book 1.7 πλέων εἰς ὄλεθρον, τοὺς μὲν κατάγων ἀδίκως, τοὺς δ' ἐκδιώκων, τοὺς δὲ καίνων·
book 1.1 [ln_10]ἀργυρίων δ' ὑπόπλεως Ἰσθμοῖ γελοίως
book 1.2 πανδόκευε
book 1.3 ψυχρὰ 〈τὰ〉 κρεῖα
book 1.4 παρίσχων· οἱ δ' ἤσθιον κηὔχοντο μὴ ὥραν Θεμιστοκλέος γενέσθαι.
book 2.1 Μοῦσα
book 2.2 τοῦδε
book 2.3 τοῦ μέλεος κλέος ἀν' Ἕλλανας τίθει, ὡς ἐοικὸς καὶ δίκαιον.
book 3.1 οὐκ ἆρα
book 3.2 Τιμοκρέων μόνος Μήδοισιν ὁρκιατομεῖ· ἀλλ' ἐντὶ κἆλλοι δὴ πονηροὶ κοὐκ ἐγὼ μόνα κόλου-[ln_5]ρις· ἐντὶ κἆλλαι 'λώπεκες.
book 4.1 λό[γ]ον δέ σοι λε[ |...].ον
book 4.2 ταυτα σοι π..[ |..τ]ῶν
book 4.3 τριῶν
book 4.4 ταλ[άντων |.......]ων ξένος [ (fin. col.)
book 5.1 ὤφελέν ς' ὦ τυφλὲ Πλοῦτε[ln_1]μήτε γῆι μήτ' ἐν θαλάσσηι μήτ' ἐν ἠπείρωι
book 5.2 φανῆμεν,[ln_2]ἀλλὰ Τάρταρόν
book 5.3 τε ναίειν κἈχέροντα· διὰ σὲ γὰρ πάντ'[ln_3]αἰὲν ἀνθρώποις κακά.

book 6.1 Σικελὸς κομψὸς ἀνὴρ
book 6.2 ποτὶ τὰν ματέρ’ ἔφα

Eulogikon public reading copy · View original HTML at eulogikon.org